# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΛΟΥΚΑΝ, ΑΡΧΙΕΠΙΣΚΟΠΟΝ ΣΥΜΦΕΡΟΥΠΟΛΕΩΣ, ΤΟΝ ΘΑΥΜΑΤΟΥΡΓΟΝ ΙΑΤΡΟΝ

(Ποίημα Ἀρχιμανδρίτου Ἰωὴλ Φραγκάκου).

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ ρμβ΄ (142) Ψαλμὸς καὶ τὸ *Θεὸς Κύριος* μετὰ τῶν στίχων αὐτοῦ. Εἶτα τὰ Τροπάρια:

Ἦχος δ΄. *Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ὡς Ἱεράρχης τοῦ Χριστοῦ αἰγληφόρος, καὶ ἰατρὸς τῶν ἀσθενούντων μερόπων καὶ πρεσβευτὴς Λουκᾶ πρὸς τὸν Φιλάνθρωπον, τοὺς ἐπιζητοῦντας σου τὴν θεόσδοτον χάριν, μὴ ἐλλείπῃς Ἅγιε ἀπὸ πάσης ἀνάγκης καὶ χαλεπῶν τοῦ βίου ἀναγκῶν διαφυλάττων ταῖς θείαις πρεσβείαις σου.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσωμέν ποτε, Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ Σοῦ· Σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ (50) Ψαλμός καὶ ὁ κανών, οὗ ἡ ἀκροστιχίς·

*Λουκᾶ ἰατρέ τούς νοσοῦντας ἴασαι. Ἰωήλ.*

ᾨδὴ α΄. Ἦχος πλ. δ΄. *Ὑγρὰν διοδεύσας.*

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

Λουκᾶ ἀρχιθύτα τὸν Ἰησοῦν, πάντοτε δυσώπει ὑπὲρ πάντων ὑμῶν λιταῖς, νόσων λυτρωθῆναι δυσιάτων, καὶ δυσπραγίας τοῦ βίου πανόβλιε.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁρμὰς τὰς ἀτάκτους τῶν ἡδονῶν, Λουκᾶ καὶ ἐννοίας, ψυχοφθόρους τῶν γεηρῶν, τῇ σῇ προστασίᾳ Ἱεράρχα, ἐκ τῆς ψυχῆς μου ἀνάσπασον πρόῤῥιζον.

Δόξα.

Ὑφέρπων δολίως ὁ πονηρός, προσβάλλει με ὄντως ἀῤῥωστήμασι τοῖς δεινοῖς, ἀλλ’ ὡς θεοκίνητος ἀκέστωρ, τὴν ἰατρείαν Λουκᾶ δός μοι τάχιστα.

Καὶ νῦν. Θεοτοκίον.

Καμάτου τοῦ σώματος καὶ ψυχῆς, τοὺς δούλους Σου Μῆτερ, ἐλευθέρωσον Σαῖς λιταῖς, καὶ χάρισε πᾶσιν τὴν ἐλπίδα τοῦ πλατυσμοῦ καὶ ἀνέσεως Δέσποινα.

ᾨδὴ γ΄. *Οὐρανίας ἀψῖδος.*

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀποῤῥήτως τὴν χάριν, τὰ σὰ ὀστᾶ δίδωσι, τοῖς προσερχομένοις ἐν πίστει, ταῦτα ἀσπάσασθαι ἐν Σαγματᾷ τῇ Μονῇ, καὶ ἐν τῇ χώρᾳ Ῥωσίας, ὡς πηγὴ ἀείῤῥοος, Λουκᾶ ἀοίδιμε.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰαθῆναι λιταῖς σου ,παρακαλῶ Ἅγιε , ἐκ τῆς ταραχῆς τοῦ νοός μου καὶ τῆς δειλίας μου, σὺ γὰρ ὡς εὔτολμος ἐν τοῖς καιροῖς τοῖς ἐσχάτοις, Χριστοῦ τὴν ἀλήθειαν,

Λουκᾶ ἐκήρυξας.

Δόξα.

Ἀρχιθύτης ὑπάρχων, ἐν οὐρανῷ ἔπαρον, τὰς σεπτάς σου χεῖρας θεόφρον, πρὸς τὸν Φιλάνθρωπον, ἀπαλλαγῆναι με, ἀμπλακημάτων παντοίων, ὡς ἂν τὴν σωτήριον, τρίβον πορεύσωμαι.

Καὶ νῦν. Θεοτοκίον.

Τὰς συμβάσεις τοῦ βίου καὶ δυσμενῆ σκάνδαλα, τὰς ἐπιφορὰς τοῦ βελίαρ καὶ μηχανήματα γηΐνων θέλγητρα καὶ τῶν ματαίων ὀρέξεις ἄφ' ἡμῶν ἀπόστησον Παντοβασίλισσα.

Διάσωσον, ὦ Ἱεράρχα Λουκᾶ τοὺς σὲ ἀνυμνοῦντας ἐκ κνδύνων καὶ πονηρῶν καταστάσεων καὶ ἐκ τῶν νόσων κάτ' ἄμφω σημειοφόρε.

Ἐπίβλεψον ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα. Ἦχος β΄. *Πρεσβεία θερμή.*

Ἐν χρόνοις τοῖς νῦν, Λουκᾶ Ἀρχιεπίσκοπε, ἐφάνης πιστοῖς παραμυθία ἄφατος˙ διὸ μὴ παύσῃ Ἅγιε συντηρῶν προμηθείᾳ τῇ κρείττονι, ὡς παῤῥησίαν σχὼν ἐν οὐρανῷ, τοὺς πόθῳ φωνοῦντας τὸ σὸν ὄνομα.

Ὠδὴ δ΄. *Εἰσακήκοα Κύριε.*

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥίζαν ἔκκοψον Ἅγιε τῆς δαιμονικῆς σαφῶς ἀθεότητος, καὶ Λουκᾶ πρὸς ἀγαθότητα ἴθυνας ψυχὰς τῶν ἀνυμνούντων σε.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐπί σοι τὰς ἐλπίδας μου, ἔχων Ἱεράρχα σεβασμιώτατε, νυσταγμὸν τῆς ῥαθυμίας μου, στῆσαι ὁ φιλόϋλος ἐφίεμαι.

Δόξα.

Τῷ φλογμῷ παραβάσεων καὶ ἀσεβημάτων Λουκᾶ Ἐπίσκοπε, ἐκτακεῖσαν τὴν καρδίαν μου, δρόσισον ῥανῖσι τοῦ ἐλέους σου.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ ὑπάρχων ἀχώρητος καὶ πληρῶν τὰ πάντα Θεὸς ἐχώρησεν, ἐν τῇ μήτρᾳ Σου Πανάμωμε, Ὃν ὑπὲρ ἡμῶν ἀεὶ ἱκέτευε.

Ὠδὴ ε΄. *Φώτισον ἡμᾶς.*

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὕψωσον Λουκᾶ, πρὸς τὴν ἄνωθεν λαμπρότητα, τὰ νοήματα ἡμῶν τῶν ἐμπαθῶν, διαλύων ἁμαρτίας τὰ φαντάσματα.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Στόνον τῶν ψυχῶν καὶ σωμάτων τὰ ἀλγήματα, Ἱεράρχα ζωηφόροις σου λιταῖς, μὴ ἐλλίπῃς ἰατρεῦσαι τῶν τιμώντων σε.

Δόξα.

Νῦν ἐν Σαγματᾷ τὰς μερίδας τῶν λειψάνων σου, οἱ μονάζοντες κατέχοντας Λουκᾶ, ταῖς εὐχαῖς ἐκζητοῦσι τὴν εἰρήνευσιν.

Καὶ νῦν. Θεοτοκίον.

Ὃν ὑπερφυῶς, Θεοτόκε ἀπεκύησας, δυσωποῦσα μὴ ἐλλείπῃς ἐσαεί, ἐκλυτρώσασθαι ἡμᾶς ἐξ ἀπογνώσεως.

Ὠδὴ ς΄. *Τὴν δέησιν ἐκχεῶ.*

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Συστήματα πονηρῶν ἐκύκλωσαν, τὰς ψυχὰς ἡμῶν Λουκᾶ Ἱεράρχα, καὶ σαρκικῶν τὰ ἀμέτρητα πάθη, πρὸς ἀκρασίας τὸν λάκκον καθέλκουσιν, ἡμᾶς τοὺς κράζοντας πρὸς σὲ˙ ἐκ φθορᾶς τοὺς ἱκέτας σου λύτρωσον.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁδήγησον πρὸς λιμένα εὔδιον, Ἱεράρχα τοῦ Χριστοῦ τοὺς πεσόντας, ἐν κλυδωνίῳ τῆς ζάλης τοῦ βίου καὶ ἐν ἀβύσσῳ παγίδων τοῦ ὄφεως, ὡς κεκτημένος πρὸς Θεόν, τὴν καλὴν παῤῥησίαν πανεύφημε.

Δόξα.

Ὑπάρχων τῶν λογισμῶν ἀνάπλεως, Ἱεράρχα πολυφρόντιδος βίου, καὶ μεριμνῶν καθ’ ἑκάστην ὁ τάλας, ἐν ἡδοναῖς ψυχοφθόροις τοῦ σώματος ἐκ βάθους αἴρω τὴν φωνήν˙ πρὸς τὸ θεῖον με φῶς καθοδήγησον.

Καὶ νῦν. Θεοτοκίον.

Νῦν βάρει τῶν ἐμπαθῶν πταισμάτων μου, καλυφθεῖσα ἡ καρδία μου στένει, καὶ μὴ τολμῶν ἀτενίσαι πρὸς ὕψος τοῦ οὐρανοῦ Θεοτόκε ὁ ἄσωτος, αἰτοῦμαι ἄφεσιν κακῶν, πανσθενεῖ Σου πρεσβείᾳ Θεόνυμφε.

Διάσωσον, ὦ Ἱεράρχα Λουκᾶ τοὺς σὲ ἀνυμνοῦντας ἐκ κνδύνων καὶ πονηρῶν καταστάσεων καὶ ἐκ τῶν νόσων κάτ’ ἄμφω σημειοφόρε.

Ἄχραντε, ἡ διὰ λόγου τόν Λόγον ἀνερμηνεύτως, ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Κοντάκιον. Ἦχος β΄. *Τοῖς τῶν αἱμάτων σου.*

Ὡς Ἱεράρχης Λουκᾶ ἀξιάγαστε, Συμφερουπόλεως πάσης καὶ πρόεδρος, τοῖς προσιοῦσιν ἐν πίστει τὴν λάρνακα, τῶν σῶν λειψάνων ἀγίασον χάριτι, παρέχων κατ’ ἄμφω τὴν ἴασιν.

Προκείμενον.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσιν.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν (ς΄ 17-19, θ΄ 1-2, ι΄ 16-21).

Τῷ καιρῷ ἐκείνῳ ἦλθε πρὸς τὸν Ἰησοῦν ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ, ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσαλήμ, καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἵ ἦλθον ἀκοῦσαι αὐτοῦ, καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν˙ καὶ οἱ ὀχλούμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων καὶ ἐθεραπεύοντο. Καὶ πᾶς ὁ ὄχλος ἐζήτει

ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ’ αὐτοῦ ἐξήρχετο, καὶ ἰᾶτο πάντας. Συγκαλεσάμενος δὲ τοὺς δώδεκα Μαθητὰς αὐτοῦ ἔδωκεν αὐτοῖς δύναμιν καὶ ἐξουσίαν ἐπὶ πάντα τὰ δαιμόνια, καὶ νόσους θεραπεύειν. Καὶ ἀπέστειλεν αὐτοὺς κηρύσσειν τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ἰᾶσθαι τοὺς ἀσθενοῦντας. Καὶ ἔλεγεν αὐτοῖς˙ ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει˙ καὶ ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ˙ ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν ἀποστείλαντά με. Ὑπέστρεψαν δὲ οἱ ἑβδομήκοντα μετὰ χαρᾶς, λέγοντες˙ Κύριε, καὶ τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου. Εἶπε δὲ αὐτοῖς˙ Ἐθεώρουν τὸν σατανᾶν, ὡς ἀστραπὴν ἐκ τοῦ Οὐρανοῦ πεσόντα. Ἰδοὺ, δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ˙ καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσει. Πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ πεύματα ὑμῖν ὑποτάσσεται˙ χαίρετε δὲ μᾶλλον, ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς Οὐρανοῖς. Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ Πνεύματι ὁ Ἰησοῦς , καὶ εἶπεν. Ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλλυψας αὐτὰ νηπίοις˙ ναὶ ὁ Πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου.

Δόξα.

Ταῖς τοῦ Ἱεράρχου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καί νῦν.

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τὸ ἀνόμημά μου.

Προσόμοιον. Ἦχος πλ. β΄. *Ὅλην ἀποθέμενοι.*

Ἅγιε Ἀνάργυρε, Ῥωσίας πάσης τὸ κλέος, τῆς Συμφερουπόλεως, ἔνδοξε διδάσκαλε καὶ Ἐπίσκοπε, τὰς δεινὰς μάστιγας, τῶν ἀῤῥωστημάτων, πυρετόν τε καὶ τὰ τραύματα, τῶν προσιόντων σοι, ἴασαι Λουκᾶ τῷ ἐλέει σου, καὶ ταῖς ἱκετηρίαις σου, πρὸς τὸν σὸν Φιλάνθρωπον Κύριον. Πάντιμε ἀκέστορ, ἐλπίς κεκμηκότων ἀῤῥαγής, μὴ ἐπιλάθῃ δωρήσασθαι, πᾶσι τὰ εὐφρόσυνα.

Ὠδὴ ζ΄. *Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῇ σῇ σκέπῃ προστρέχω, Ἱεράρχα αἰτούμενος, τὴν καρδίαν μου, τὴν γέμουσαν ἀκάνθας, τῆς ὑπερηφανίας, καὶ δαιμόνων θρασύτητος ἀποκαθᾶραι ταῖς σαῖς, ἐντεύξεσι Λουκᾶ μου.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἁγιώτατε Πάτερ νοητῶν Αἰθιόπων καὶ κακοτρόπων βροτῶν, συμβάσως ἀλόγου, καὶ τῆς κακοπραγίας, ἀνωτέρους συντήρησον, τοὺς ἐξαιτοῦντας Λουκᾶ, τὴν σὴν ἐπικουρίαν.

Δόξα.

Στηριγμὸν ἐν τῇ θλίψει, ἐν πελάγει τοῦ βίου τοῦ Σαγματᾶ ἡ Μονή, τὰ λείψανά σου Πάτερ κατέχουσα τὸ θάρσος, καθ’ ἑκάστην ἀρύεται˙ ἵνα πρὸς πλάτος χαρᾶς, τῆς ὄντως καταντήσῃ.

Καὶ νῦν. Θεοτοκίον.

Ἰησοῦ τὰς ἀγκάλας, τῆς θερμῆς Σου ἀγάπης καὶ θυμηδίας ὁμοῦ, ὑπάνοιξόν μοι Σῶτερ, λιταῖς τῆς Σὲ τεκούσης, ἵνα ψάλλω γηθόμενος˙ ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. *Τὸν Βασιλέα τῶν Οὐρανῶν.*

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀτρέμας Πάτερ, πρὸ τῶν βημάτων ἀθέων, ὡμολόγησας Χριστὸν Ἐσταυρωμένον, Ὃν μὴ διαλίπῃς, ὑπὲρ ἡμῶν λιτάζων.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σοφίας μάκαρ τῆς θεϊκῆς ὢν δοχεῖον, τὸν θυμὸν καὶ ταραχώδεις ἐννοήσεις, θραῦσον τῆς ψυχῆς μου, Λουκᾶ σημειοφόρε.

Δόξα.

Ἅγιε λῦσον, τῆς ταλαιπώρου ψυχῆς μου, καὶ τοῦ σώματος τοὺς πόνους καὶ ὀδύνας, σὺ γὰρ, ἀρχιθύτης, τυγχάνεις καὶ ἀκέστωρ.

Καὶ νῦν. Θεοτοκίον.

Ἰσχὺς ἡ ὄντως, καὶ ἡ ἐλπὶς καὶ τὸ φάος, ἡ παράκλησις καὶ ἴαμα κατ’ ἄμφω, Δέσποινα ὑπάρχεις, ἡμῶν τῶν Ὀρθοδόξων.

Ὠδὴ θ΄. *Κυρίως Θεοτόκον.*

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰάτρευσον τὰς νόσους, τῶν ψυχοπασχόντων καὶ ἀλγουμένων Λουκᾶ ὑπὲρ ἔννοιαν, διευθετῶν τὰς ἐννοίας αὐτῶν μακάριε.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡς μέλισσα ἐτρύγεις, τὴν σοφίαν πᾶσαν, ἐπὶ τῆς γῆς Ἱεράρχα ἀοίδιμε˙ διὸ νοός μου ἀπέλασον τὴν σκοτόμαιναν.

Δόξα.

Ἡδέως οἱ Πατέρες, μάνδρας Σαγματίου, τὰ σὰ ὀστᾶ ὡς μαργάρους κατέχοντες, ἐπιζητοῦσιν θεόφρον τὴν σὴν ἀντίληψιν.

Καὶ νῦν. Θεοτοκίον.

Λαὸν τῶν Ὀρθοδόξων, φύλαττε ἐκ λύκων, αἱρετικῶν Παναγία Πανύμνητε, ἀποκαλύπτουσα πᾶσαν αὐτῶν κακότητα.

Μεγαλυνάρια

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, Σὲ μεγαλύνομεν.

Χαίροις ἐπισκόπων ὁ κοινωνός, τῆς Ῥωσίας πάσης ὁ θεόσοφος ἰατρός˙ χαίροις τῆς Κριμαίας, ὁ θεῖος Ποιμενάρχης, Λουκᾶ τῶν Ὀρθοδόξων ὁ νέος Ἅγιος.

Ἔχων τὴν σοφίαν παρὰ Θεοῦ, τῶν νενοσηκότων ἐθεράπευες τὰ δεινά, καὶ τοὺς πεπτωκότας, ἐν λάκκῳ τῶν ἀθέων, τῇ σῇ δυνάμει Πάτερ, Λουκᾶ ἐξήρπασας.

Πάντα τὰ ὀνείδη διὰ Χριστόν, φυλακὰς διώξεις, καὶ αἰκίας σωματικάς, σκύβαλα ἡγήσω, καὶ ἔφερες γενναίως, Λουκᾶ σημειοφόρε, καὶ ἀκατάβλητε.

Θαύματα τεράστια τῷ λαῷ, ἡ σεπτὴ Σορός σου, ἐν Ῥωσίᾳ ἐπιτελεῖ, καὶ ἐν Σαγματίῳ, ἐκ ταύτης αἱ μερίδες, ἐκβλύζουσιν ἰάσεις, Λουκᾶ τοῖς πάσχουσι.

Ηὔγασας ὡς ἥλιος παμφαής, ἐν Συμφερουπόλει, τὰς χορείας τῶν εὐσεβῶν, καὶ τῆς ἀθεΐας, ἐμείωσας τὸ σκότος, ἐν χώρᾳ τῆς Ῥωσίας, Λουκᾶ ἀοίδιμε.

Μάνδραν τῶν θρεμμάτων τῶν λογικῶν, ἐν τῷ Σαγματίῳ, ταῖς πρεσβείαις σου πρὸς Χριστόν, φύλαττε θεόφρον, ἐκ πάσης κακουργίας, δαιμόνων τῶν ἐχθίστων, Λουκᾶ πανάριστε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς˙ πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς, ἐπὶ Σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεὸς ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

Καὶ νῦν. Θεοτοκίον.

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε. Ἐλπίζοντες εἰς Σε, μὴ ἀστοχήσωμεν˙ ῥυσθείημεν διὰ Σοῦ τῶν περιστάσεων˙ Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν χριστιανῶν.

Ἀπολυτίκιον. Ἦχος πλ. α΄. *Τὸν συνάναρχον λόγον.*

Ἰατρὸν καὶ ποιμένα, Λουκᾶν τιμήσωμεν, Συμφερουπόλεως ποίμνης, Ἀρχιερέα λαμπρόν, τὸν βαστάσαντα Χριστοῦ τὰ θεία στίγματα, τὰς ἐξορίας, τὰ δεινά, ἐγκλεισμοὺς ἐν φυλακαῖς, τὰς θλίψεις καὶ τὰ ὀνείδη, τὸν ἐπ’ ἐσχάτων φανέντα, ἐν τῇ Ῥωσίᾳ νέον Ἅγιον.

Τροπάρια. Ἦχος β΄. *Ὅτε ἐκ τοῦ ξύλου.*

Πάτερ Ἱεράρχα τοῦ Χριστοῦ, ἔνδοξε Λουκᾶ μὴ κατόκνῃ, ἐπιστασίαις σου, ἐν ποικίλαις θλίψεσι καὶ περιστάσεσι, συντηρῶν τὸν φιλόχριστον, λαὸν τοῦ Κυρίου, τόν ἐπικαλούμενον ἐν εὐλαβείᾳ πολλῇ, ὄνομα τὸ σὸν θεοφόρε, καὶ ὑμνολογοῦντα ἐνθέως, θαύματα καὶ βίον σου τὸν ἅγιον.

Ἦχος πλ. δ'.

Δέσποινα, πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Ἦχος β'.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

## ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΕΡΟΜΑΡΤΥΡΑ ΧΑΡΑΛΑΜΠΟΝ ΤΟΝ ΘΑΥΜΑΤΟΥΡΓΟΝ

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ ρμβ΄ (142) Ψαλμὸς καὶ τὸ *Θεὸς Κύριος* μετὰ τῶν στίχων αὐτοῦ. Εἶτα τὰ Τροπάρια:

Ἦχος δ΄. *Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τῷ Ἀθλοφόρῳ οἱ πιστοὶ δεῦτε πάντες, εὐσεβοφρόνως προσπέσοντες βοῶμεν· Ἱερομάρτυς ἔνδοξε Χαράλαμπε ῥῦσαι τοὺς τιμῶντας σε, λοιμικῆς ἀσθενείας, πάσης περιστάσεως, καὶ δεινῶν καὶ κινδύνων, ταῖς πρὸς Χριστὸν λιταῖς σου, Ἀθλητά, σὲ γὰρ προστάτην κεκτήμεθα ἅπαντες.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσωμέν ποτε, Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ Σοῦ· Σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ (50) Ψαλμός καὶ ὁ κανών.

ᾨδὴ α΄. Ἦχος πλ. δ΄. *Ἁρματηλάτην Φαραώ.*

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ταῖς πρὸς Χριστόν σου ἱεραῖς ἐντεύξεσι, Μάρτυς ἀοίδιμε, τῶν κινδύνων ῥῦσαι, καὶ δεινῆς κακώσεως, καὶ πάσης περιστάσεως, καὶ αἰσχρᾶς ἁμαρτίας, Ἱερομάρτυς Χαράλαμπες, καὶ τῶν δυσμενῶν κατακρίσεως.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ τῶν ἁπάντων Βασιλεὺς καὶ Κύριος, ψυχῆς σου τὸ φαεινόν, προειδῶς παμμάκαρ, λαμπρῶς καθωράϊσεν, ἱερωσύνῃ, Ἅγιε, διαπρέψαντα λίαν, εἶτα ἀθλήσεως λάμψεσι σὲ εἰς οὐρανοὺς προσελάβετο.

Δόξα.

Δόξῃ ἐνθέως διαπρέπων, ἔνδοξε, ἐν οὐρανοῖς κατοικεῖς, σὺν Ἀγγέλοις μάκαρ, καὶ Ἁγίων τάγμασι, δυσώπησον τὸν Κύριον, παῤῥησίαν ὡς ἔχων, ἡμᾶς ῥυσθῆναι κολάσεως, νόσου τε καὶ πάσης πωρώσεως.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ ὑπὲρ λόγον τὸν Θεὸν κυήσασα, Εὐλογημένη Ἁγνή, καὶ τῶν οὐρανίων, νοερὰ στρατεύματα, τῷ κάλλει Σου λαμπρύνουσα, Παναγία Παρθένε, καταύγασον τοὺς οἰκέτας Σου, πάσης ἐξελοῦσα σκαιότητος.

ᾨδὴ γ΄. *Οὐρανίας ἁψῖδος.*

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Παναοίδιμε πόθῳ, σὲ ἀνυμνῶ  Ἅγιε, τάχος τῶν κινδύνων καὶ σάλου, πάντας ἀπάλλαξον, ταῖς ἱκεσίαις σου, πρὸς τὸν Θεὸν καὶ εἰς ὅρμον, σωτηρίας εὔθυνον τοὺς σὲ γεραίροντας.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ Θεὸς τῶν ἁπάντων, δημιουργὸς Κύριος, χάριν σοι παρέσχε θεόφρον, τὴν τῶν

ἰάσεων ἣν σὺ ἐζήτησας, ὑπεραθλῶν αὐτοῦ πόθῳ, καὶ λαβὼν τοῖς δούλοις σου παράσχου Ἅγιε.

Δόξα.

Θειοτάτῃ προνοίᾳ, παρὰ Θεοῦ δέδοσαι πᾶσι τοῖς πιστῶς σε τιμῶσι, μάκαρ Χαράλαμπες˙ διὸ ἀπέλασον ἅπασαν νόσον καὶ βλάβην, χάριν παρεχόμενος τὴν ἐπουράνιον.

Καὶ νῦν. Θεοτοκίον.

Ὡς Θεοῦ Σε Μητέρα, καὶ γηγενῶν καύχημα, πίστει ἀνυμνοῦμεν, Παρθένε, καὶ μακαρίζομεν, ῥῦσαι Πανάχραντε, τῆς ἐνεστώσης ἀνάγκης, τοὺς πιστῶς ὑμνοῦντάς Σε τὴν Ὑπερύμνητον.

ᾨδὴ δ΄. *Εἰσακήκοα Κύριε.*

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σὺ Ἀθλητά, καταφυγή μου καὶ δύναμις, σὺ προστάτης, σύ μου καὶ ἀντίληψις, πλουτῶν σοφὲ ὄντως πρὸς Θεὸν, παῤῥησίαν μάκαρ, ὡς στεφανίτης ἀήττητος˙ διὸ καὶ πᾶσαν νόσον, ἀπελαύνων παράσχου, τοῖς πιστοῖς θείαν χάριν καὶ ἔλεος.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁλοσχερῶς, πρὸς τοὺς ἀγῶνας ἐχώρησας, ὡς ὑπάρχων, ἱερεὺς θαυμάσιος, καὶ δυσμενῶν ὅπλα καὶ ἰσχύν, τῇ θείᾳ ἰσχύϊ, καταβαλὼν ἀξιΰμνητε, στεφάνων ἠξιώθης, οὐρανίων παμμάκαρ, διὸ ῥῦσαι ἡμᾶς πάσης θλίψεως.

Δόξα.

Ἰλέως σύ, Ἱερομάρτυς Χαράλαμπες, τοῖς σοῖς δούλοις, εἴης παμμακάριστε, διδοὺς αὐτοῖς χάριν δαψιλῆ, ταῖς σαῖς ἱκεσίαις, ἐλαύνων νόσους καὶ σκάνδαλα, καὶ χάριτος ἐνθέου, ἀξιῶν ὡς προστάτης, πᾶσαν νόσον καὶ βλάβην ἀπέλασον.

Καὶ νῦν. Θεοτοκίον.

Νοοῦντες Σοῦ, τὸ ὑπὲρ λόγον μυστήριον, Θεοτόκε, Ἄχραντε Θεόνυμφε, τῶν οὐρανῶν Τάγματα Σεμνή, θάμβει γεγηθότως, συνέχονται ἐκπληττόμενα˙ διὸ ἡμᾶς Κυρία, λοιμικῆς ἀσθενείας, καὶ κολάσεως ῥῦσαι Ὑπέραγνε.

ᾨδὴ ε΄. *Ἵνα τί μὲ ἀπώσω.*

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὑπερύμνητον μάκαρ, τὸν Θεὸν τῶν ἁπάντων σὺ ἀνεκήρυξας, λαμπρῶς ἐν τῷ σταδίῳ, Χαράλαμπες θεόφρον, Ὃν ἀεί καθικέτευε, τῶν ἐνεστώτων κακῶν, ῥῦσαι ἡμᾶς καὶ νόσων.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νῦν σε Μάρτυς πλουτοῦντες, πρὸς Θεὸν τῶν ἁπάντων πρέσβυν θερμότατον, καὶ ἀεὶ παμμάκαρ ἱκετεύομεν ῥῦσαι τῶν θλίψεων, καὶ δεινῆς μανίας, τῆς ἐνεστώσης νόσου τάχους, καὶ κινδύνων καὶ πάσης κακώσεως.

Δόξα.

Ἱλασμὸν τῶν πταισμάτων, παρεχόμενος πᾶσι τοῖς εὐφημοῦσί σε, ταῖς λιταῖς σου Μάρτυς, τὴν μανίαν ἐν τάχει ἀπέλασον, μάκαρ πάσης νόσου, καὶ πάσης βλάβης καὶ κακίας, ἀξιῶν οὐρανίου λαμπρότητος.

Καὶ νῦν. Θεοτοκίον.

Ὡς Θεὸν τετοκυῖα, Ὑπερύμνητε Κόρη Θεοχαρίτωτε, θαυμαστῶς ἰσχύεις, ὅσα βούλει Ὑπέραγνε Δέσποινα˙ διὸ πάντας ῥῦσαι, νόσου παντοίας καὶ γεένης, καὶ κολάσεως πάσης ἐξάρπασον.

Ὠδὴ ς΄. *Τὴν δέησιν ἐκχεῶ.*

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἁγίως τὴν βιοτὴν διήνυες, ἱερεὺς διατελῶν θεοκῆρυξ, εἶτα σοφέ, μαρτυρίου ἀγῶσιν, είς Ούρανοὺς ἀνελήλυθας ἄριστε˙ διὸ λιταῖς σου πρὸς Χριστόν, πᾶσαν νόσον ἀπέλασον τάχιστα.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ναόν σου τοῦ Παναγίου Πνεύματος, έγνωκότες οἱ πιστοὶ εὐφημοῦμεν, πάσης ὀργῆς, καὶ ἀνάγκης καὶ νόσων, καὶ τοῦ ἀώρου θανάτου ἀπάλλαξον, λιταῖς σου πρὸς τὸν Λυτρωτήν, Πανaοίδιμε Μάρτυς Χαράλαμπες.

Δόξα.

Νοοῦντες τὴν παῤῥησίαν Ἅγιε, ἣν πλουτεῖς πρὸς τὸν Χριστὸν Ἀθλοφόρε, πίστει ἀεί, εὐφημοῦμεν σε μάκαρ, τὴν λοιμικὴν ἐξ ἀνθρώπων ἀπέλασον, μανίαν τὴν λυμαντικήν, ταῖς λιταῖς σου Χαράλαμπες ἔνδοξε.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ μόνη τὸν Λυτρωτὴν κυήσασα, Σὺ ὑπάρχεις Παναγία Παρθένε, Ὃν ἐκτενῶς, ὑπὲρ πάντων δυσώπει, οἰκτειρηθῆναι τῷ θείῳ ἐλέει Σου, τυχεῖν τε τῆς ἐν οὐρανῷ, ἀπολαύσεως δόξης καὶ χάριτος.

Διάσῳζε Ἱερομάρτυς τοὺς πίστει σε εὐφημοῦντας, ταῖς πρὸς Χριστὸν λιταῖς σου Χαράλαμπες, κινδύνων καὶ ἀσθενείας ἁπάσης.

Ἄχραντε ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Κοντάκιον. Ἦχος β΄. *Προστασία τῶν Χριστιανῶν.*

Προστασίᾳ τῇ ἱερᾷ σου θεόπνευστε, ἱκεσίᾳ πρὸς τὸν Χριστὸν ἱερώτατε, οἰκτείρησον ἡμᾶς, Χαράλαμπες, σοφέ, δωρούμενος ἡμῖν τὴν λύσιν τῶν δυσχερῶν ἔνδοξε, ἀποσοβῶν πᾶσαν νόσον καὶ λοιμικὰς ἀσθενείας, ὡς ἀντιλήπτωρ τῶν πιστῶν, πανaοίδιμε ὀξύτατος.

Προκείμενον.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληνθυνθήσεται.

Στίχ. Πεφυτευμένοι ἐν τῷ Οἴκω Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσιν.

Εὐαγγελίον. Ἐκ τοῦ κατὰ Ἰωάννην (ιε΄ 17-27 καὶ ις΄ 1-2).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει·ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. Μνημονεύετε τοῦ λόγου, οὗ ἐγὼ εἶπον ὑμῖν· Οὐκ ἔστι δοῦλος μείζων του Κυρίου αὐτοῦ· εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν, εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν. Ἀλλὰ

ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι ούκ οἴδασι τὸν πέμψαντά με. Εἰ μὴ ἦλθον, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν ούκ εἶχον·νῦν δὲ πρόφασιν ούκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. Ὁ ἐμὲ μισῶν, καὶ τὸν Πατέρα μου μισεῖ. Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς, ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν ούκ εἶχον·νῦν δὲ καὶ ἑωράκασι, καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν Πατέρα μου. Ἀλλ' ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμω αὐτῶν˙ «Ὅτι ἐμίσησάν με δωρεάν». Ὅταν δὲ ἔλθη ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός, (τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται), ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. Καὶ ὑμεῖς δὲ μαρτυρεῖτε ὅτι ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστε. Ταῦτα λελάληκα ὑμῖν ἵνα μὴ σκανδαλισθῆτε. Ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς, ἀλλ' ἔρχεται ὥρα, ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς, δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ.

Δόξα.

Ταῖς τοῦ Ἀθλοφόρου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καί νῦν.

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τὸ ἀνόμημά μου.

Προσόμοιον. Ἦχος πλ. β΄. *Ὅλην ἀποθέμενοι.*

Μὴ ἐγκαταλίπῃς με, παραπτωμάτων εἰς χάος, Ἀθλητὰ Χαράλαμπες, ἀλλὰ τάχος ἔξελε τῆς πωρώσεως˙ θλῖψις γὰρ ἔνδοξε, καὶ ἀχλὺς τήκει με, τῶν ἀπείρων παραπτώσεων, ὧν με ἀπάλλαξον, τάχος ἱερεῦ παναοίδιμε, πρὸς Κύριον πρεσβείαις σου, ὡς θερμὸς προστάτης τῶν δούλων σου, δέομαι θεόφρον, ἐπάκουσον ἡμῶν τῶν ταπεινῶν, ἐξαγαγὼν πάντας Ἅγιε, τῶν δεινῶν καὶ θλίψεων.

Ὠδὴ ζ΄. *Παῖδες Ἑβραίων.*

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σῶσον παμμάκαρ σοὺς οἰκέτας, περιστάσεως καὶ ζάλης ἐναντίας, ταῖς εὐχαῖς σου σοφέ, πρὸς Κύριον βοῶντας, εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Δόξα.

Ἅγιον Πάτερ τῶν Ἁγίων, καθικέτευε ὑπὲρ τῶν σὲ τιμώντων, ἀπαλλάττων αὐτούς, κακώσεως καὶ σάλου, εὐλογητὸς εἶ κράζοντας ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Καὶ νῦν. Θεοτοκίον.

Ἔτεκες Ἄχραντε Μαρία, τὸν ἀχώρητον Δεσπότην τῶν ἁπάντων, Ὃν ἀεὶ ὡς Υἱόν, ὑπὲρ ἡμῶν δυσώπει, νόσου καὶ πάσης θλίψεως, ἀπαλλᾶξαι Παναγία.

Ὠδὴ η΄. *Τὸν ἐν ὄρει ἁγίῳ.*

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἱκετεύει ὁ θεῖος Χαραλάμπης, Σὲ τὸν μόνον τῆς Δόξης Βασιλέα, ἀποσοβῆσαι λοιμικὴν ἀσθένειαν, τῶν ὑμνολογούντων, καὶ δοξολογούντων, αὐτὸν εἰς τοὺς αἰῶνας.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ τῶν ὅλων Θεὸς τρισὶ προσώποις, προσκυνούμενος οἰκτείρησον τὸν κόσμον, τοῦ Χαραλάμπους Σῶτερ ταῖς δεήσεσι, δέει Σε ὑμνοῦντα, καὶ δοξολογοῦντα, είς πάντας τοὺς αἰῶνας.

Δόξα.

Ἡ Θεότης Πατὴρ Υἱὸς καὶ Πνεῦμα, ταῖς λιταῖς Χαραλάμπους πάντας ῥῦσαι, τῶν δυσχερῶν καὶ πάσης περιστάσεως, πίστει σε ὑμνοῦντας, καὶ ὑπερυψοῦντας, είς πάντας τοὺς αἰῶνας.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ Παρθένος καὶ μόνη Θεοτόκος, τὸν Παντάνακτα ἀλήκτως ἱκετεύει, ὑπὲρ ἡμῶν ῥυσθῆναι περιστάσεων, ἀνυμνολογούντων, ὡς Θεὸν τῶν ὅλων, Αὐτὸν είς τοὺς αἰῶνας.

Ὠδὴ θ΄. *Ἐξέστη ἐπὶ τούτῳ.*

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐξίστανται οἱ τύραννοι Ἀθλητά, θεωροῦντες τὴν χάριν τὴν ἔνθεον, τὴν ἐπὶ σοί, Μάρτυς ἐνεργοῦσαν ὑπερφυῶς, ἡνίκα ἐξηρτήθησαν, ἄνω είς ἀέρα καὶ ὁ τμηθείς, τὰς χεῖρας ἀοράτως, καὶ ξύλον τὸ βλαστῆσαν, ταῦτα θεώμενοι ἐξέστησαν.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὴν νόσον τὴν λοιμώδη καὶ μιαράν, ἀπελαύνων, Χαράλαμπες ἔνδοξε, ῥῦσαι ἡμᾶς, πάσης δυσχερείας τῶν δυσμενῶν, δαιμόνων τε κακώσεως, πονηρῶν ἀνθρώπων καταδρομῆς, καὶ φθόνου καὶ μανίας, καὶ τῆς συκοφαντίας, καὶ τῆς κολάσεως, ἀοίδιμε.

Δόξα.

Τριάδα Ὑπερούσιον προσκυνῶν, σὺν Ἀγγέλοις Χαράλαμπες ἔνδοξε, ταῖς σαῖς λιταῖς, οἴκτειρον ἱκέτας σου ἱερέ, καὶ τοὺς ὑμνολογοῦντάς σε, πάντων ἀδοκήτων καὶ συμφορῶν, ἀπάλλαξον θεόφρον, παντοίας τε κακίας, καὶ τῆς γεένης παμμακάριστε.

Καὶ νῦν. Θεοτοκίον.

Κυρία τῶν Ἀγγέλων καὶ τῶν βροτῶν, καὶ ἀπάσης τῆς κτίσεως Δέσποινα, τῆς ἀπειλῆς, σάλου τε κακίας τῆς μιαρᾶς, καὶ βασκανίας Ἄχραντε καὶ ζηλοτυπίας τῆς βδελυρᾶς, ἀπάλλαξον ταχέως, τοὺς Σὲ δοξολογοῦντας, καὶ αἰωνίου κατακρίσεως.

Μεγαλυνάρια

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, Σὲ μεγαλύνομεν.

Ἀθλοφόρων κλέος τὸ ἱερόν, Μάρτυρα Κυρίου, Χαραλάμπην νῦν οἱ πιστοί, ἐλατῆρα ὄντα, ἰσχυρὸν πάσης νόσου, καὶ παθῶν μετὰ πόθου ὑμνολογήσωμεν.

Αἴτημα ὑπάρχει Θαυματουργέ, τοῦτο σὸν θεόφρον, ἀπελαύνειν τὴν λοιμικήν, νόσον ἐξ ἀνθρώπων διὸ αὐτὴν ὀξέως, ἀπέλασον λιταῖς σου, καὶ πᾶσαν κάκωσιν.

Θρόνῳ παριστάμενος τῷ φρικτῷ, τοῦ Θεοῦ τῶν ὅλων, ἐκδυσώπει ὑπὲρ ἡμῶν,

ῥύσασθαι κινδύνων, καὶ πάσης ἄλλης βλάβης, καὶ τῆς ἐπικειμένης ἡμῖν κολάσεως.

Χαραλάμπην πάντες τὸν θαυμαστόν, Ἱερομαρτύρων ἀγλάϊσμα τὸ φαιδρόν, πόθῳ εὐφημοῦντες, βοήσωμεν συντόνως, λιταῖς σου πρὸς τὸν Κτίστην, ἡμᾶς οἰκτείρησον.

Δεῦτε φιλομάρτυρες εὐλαβῶς, μνήμην Χαραλάμπους ἀνυμνήσωμεν τοῦ κλεινοῦ, πρὸς αὐτὸν βοῶντες, σοὺς δούλους σκέπε Μάρτυς, λοιμικῆς τε νόσου, καὶ πάσης θλίψεως.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς˙ πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς, ἐπὶ Σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεὸς ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

Καὶ νῦν. Θεοτοκίον.

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε. Ἐλπίζοντες εἰς Σε, μὴ ἀστοχήσωμεν˙ ῥυσθείημεν διὰ Σοῦ τῶν περιστάσεων˙ Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν χριστιανῶν.

Ἀπολυτίκιον. Ἦχος δ΄. *Ταχὺ προκατάλαβε.*

Ὡς στῦλος ἀκλόνητος τῆς ἐκκλησίας Χριστοῦ, καὶ λύχνος ἀείφωτος τῆς οἰκουμένης σοφέ, ἐδείχθης Χαράλαμπες, ἔλαμψας ἐν τῷ κόσμῳ, διὰ τοῦ μαρτυρίου, ἔλυσας τῶν εἰδώλων τὴν σκοτόμαιναν μάκαρ˙ διὸ ἐν παρρησίᾳ Χριστῷ πρέβευε σωθῆναι ἡμᾶς.

Τροπάρια. Ἦχος β΄. *Ὅτε ἐκ τοῦ ξύλου.*

Πάντας ἐλεεῖς, Μάρτυς Χριστοῦ, τοὺς σοὶ προσδραμόντας ἐν πίστει, ταῖς ἱκεσίαις ταῖς σαῖς, Ἀθλητὰ Χαράλαμπες ἀξιοθαύμαστε˙ διὸ οἴκτειρον ἅπαντας, καὶ νῦν τοὺς σοὺς δούλους, τάχιστα ῥυόμενος, τῶν ἀδοκήτων δεινῶν, θλίψεως καὶ νόσου βαρείας, πάντων δυσχερῶν καὶ κινδύνων καὶ τῆς ἐν γεένῃ κατακρίσεως.

Ἦχος πλ. δ'.

Δέσποινα, πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Ἦχος β'.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.